ἡμεῖς μὲν οὖν, ὅταν σὺ κοσμήσῃς νέκυν,
γῆν τῷδ᾽ ἐπαμπισχόντες ἀροῦμεν δόρυ·
σὺ δ᾽ ὡς τάχιστα πρᾶσσε τἀπεσταλμένα.
ἑνὸς μὲν οὖν μόχθου σ᾽ ἀπαλλάξας ἔχω·
Σκαμανδρίους γὰρ τάσδε διαπερῶν ῥοὰς
ἔλουσα νεκρὸν κἀπένιψα τραύματα.
ἀλλ᾽ εἶμ᾽ ὀρυκτὸν τῷδ᾽ ἀναρρήξων τάφον,
ὡς σύντομ᾽ ἡμῖν τἀπ᾽ ἐμοῦ τε κἀπὸ σοῦ
εἰς ἓν ξυνελθόντ᾽ οἴκαδ᾽ ὁρμήσῃ πλάτην.

ΕΚ. θέσθ᾽ ἀμφίτορνον ἀσπίδ᾽ Ἕκτορος πέδῳ,
λυπρὸν θέαμα κοὐ φίλον λεύσσειν ἐμοί.
ὦ μείζον᾽ ὄγκον δορὸς ἔχοντες ἢ φρενῶν,
τί τόνδ᾽, Ἀχαιοί, παῖδα δείσαντες φόνον
καινὸν διειργάσασθε; μὴ Τροίαν ποτὲ
πεσοῦσαν ὀρθώσειεν; οὐδὲν ἦτ᾽ ἄρα,
ὅθ᾽ Ἕκτορος μὲν εὐτυχοῦντος εἰς δόρυ
διωλλύμεσθα μυρίου τ᾽ ἄλλης χερός,
πόλεως δ᾽ ἁλούσης καὶ Φρυγῶν ἐφθαρμένων
βρέφος τοσόνδ᾽ ἐδείσατ᾽. οὐκ αἰνῶ φόβον,
ὅστις φοβεῖται μὴ διεξελθὼν λόγῳ.
ὦ φίλταθ᾽, ὥς σοι θάνατος ἦλθε δυστυχής.
εἰ μὲν γὰρ ἔθανες πρὸ πόλεως, ἥβης τυχὼν
γάμων τε καὶ τῆς ἰσοθέου τυραννίδος,
μακάριος ἦσθ᾽ ἄν, εἴ τι τῶνδε μακάριον·
νῦν δ᾽ αὔτ᾽ ἰδὼν μὲν γνούς τε τῇ ψυχῇ, τέκνον,
οὐκ οἶσθ᾽, ἐχρήσω δ᾽ οὐδὲν ἐν δόμοις ἔχων.
δύστηνε, κρατὸς ὥς ἔκειρεν ἀθλίως
τείχη πατρῷα, Λοξίου πυργώματα,
ὃν πόλλ᾽ ἐκήπευσ᾽ ἡ τεκοῦσα βόστρυχον

---

1148. *ἀμπισχόντες* B *ἐπίσχοντες* CG *ἀροῦμεν*] Elmsleyus, *αἰροῦμεν* vel *αἱροῦμεν* libri. 1153. *ἀναρήξων* B *ἀνορύξων* CG 1155. *ὁρμήσῃ*] Nauckius, *ὁρμήσει* BCG *ὁρμίσῃ* *B* 1163. *διολλύμεσθα* BCG *μυρίου*] Nauckius, *μυρίους* BCG *μυρίας* *B* 1171. *δ᾽*] addidit Reiskius. 1173. *ὡς*] *ὅς* B *οὕς* C *ὥς σ᾽* G (?) *B* 1174. *τύχη* G*B*